www.tezaurliturgic.ro

# ΕΥΧΗ

## Ἐπὶ τῇ εὐλογήσει τῶν μήλων τῆς Ὁσίας Μητρὸς ἡμῶν Εἰρήνης Χρυσοβαλάντου.

### Ἰσιδώρας Μοναχῆς Ἁγιεροθεϊτίσσης

*Ὁ τῶν ὅλων ποιητὰ καὶ πάσης κτίσεως πάνσοφε Δημιουργὲ καὶ κυβερνῆτα καὶ προνοητά· ὁ τῶν ἐπιγείων καὶ οὐρανίων ἀγαθῶν χορηγὲ καὶ τῶν χαρισμάτων διανομεῦ, μόνε Βασιλεῦ ἀθάνατε· ὁ τὰ σώματα ἡμῶν διατρέφων ἐκ τῶν καρπῶν τῆς γῆς, τὰς δὲ ψυχὰς ἡμῶν ἐπιστηρίζων τῇ μυστικῇ σου χάριτι καὶ ἀοράτῳ παρουσίᾳ· ὁ τοῖς υἱοῖς καὶ φίλοις σου, τὰ τῆς αἰωνίου σου Βασιλείας ἀγαθὰ χαριζόμενος, τοῖς δὲ ἀπ' αἰῶνος Ἁγίοις σου, τὰ Μυστήρια τῆς σῆς ἀνεξιχνιάστου βουλῆς ἀποκαλύπτων καὶ τῆς σῆς Ἀγάπης τὸν πλοῦτον προμηθεύων πᾶσιν, διὰ τῆς κληρονομίας τῶν αἰωνίων δωρεῶν.*

*Ὁ τῇ ὁσίᾳ Εἰρήνῃ, τῇ ἐν τῇ Μονῇ Χρυσοβαλάντου εὐαρεστησάσῃ σε δι' ἀσκήσεως τελειοτάτης, δοὺς τὴν γνῶσιν τῶν οὐρανίων Μυστηρίων καὶ τὸν ἀρραβῶνα τῆς μελλούσης σου Βασιλείας· ὁ χαρισάμενος αὐτῇ τὰ τοῦ Παραδείσου τρία μῆλα, διὰ τοῦ ἐπιστηθίου σου φίλου καὶ Θεολόγου Ἰωάννου, εἰς πρόγευσιν τῆς ὑπερκοσμίου χαρμονῆς, δι' ὧν ἔπλησας αὐτὴν ἀρρήτου εὐωδίας καὶ ἀγαλλιάσεως, μαρτυρούσης τῆς Θεαρχικῆς Τριάδος τὴν ἐν αὐτῇ ἐνοίκησιν· ὁ διδάξας αὐτὴν τῶν σῶν θελημάτων τὴν τελείωσιν καὶ δεξάμενος αὐτῆς τὴν πολιτείαν, ὡς εὐωδίαν αἰνέσεως καὶ προσφορὰν ἁγίαν.*

*Αὐτὸς καὶ νῦν φιλάνθρωπε καὶ Ἐλεῆμον Κύριε, ἡ πηγὴ τῆς εὐλογίας καὶ τῆς χάριτος, ὁ ἁγιάζων τοὺς εἰς Σὲ πιστεύοντας καὶ θεραπεύων τοὺς ἀεὶ ἐν πεποιθήσει προστρέχοντάς σοι, πάντων δὲ τὰς προσφορὰς ἐν ἀγαθότητι δεχόμενος, πρόσδεξαι καὶ νῦν τὰ μῆλα ταῦτα καὶ εὐλόγησον αὐτὰ τῇ πλουσίᾳ σου χρηστότητι· τοῖς δὲ ἐκ τούτων μεταλαμβάνουσιν, τοῦ σοῦ ἁγιασμοῦ μετάδος*

www.tezaurliturgic.ro

τὴν εὐλογίαν. Ψυχῆς τε καὶ σώματος τούτοις τὴν ἴασιν παράσχου, ὡς πάντων κατέχων τὴν ἐξουσίαν.

Λῦσον τὰ τῆς στειρώσεως δεσμά, ὅσοις ἐσθίουσιν τὰ μῆλα ταῦτα, πλουσίαν δὲ κατ᾽ ἄμφω τὴν πολυγονίαν τούτοις δώρησαι. Θεράπευσον τὰ τῆς ψυχῆς τραύματα καὶ τῆς σαρκὸς τὰς ὀδύνας τοῖς ἐκζητοῦσι τὴν σὴν ἀντίληψιν, διὰ τῆς μεταλήψεως τῶν μήλων τούτων. Πᾶσι δὲ ἀντιμέτρησον τῶν σῶν πρεσβειῶν τὴν σκέπην. Πρυτάνευσον τὴν ἄνωθεν εἰρήνην πᾶσι τοῖς τιμῶσι σε, ὡς τῆς εἰρήνης φερώνυμος, τοῦ δὲ εἰρηνάρχου Θεοῦ πιστὴ θεράπαινα. Δὸς ἡμῖν ἀκατάκριτον διάγειν τὸν βίον, ἵνα τοῦ Παραδείσου τῆς τρυφῆς κληρονόμοι γενώμεθα, τοῦ δὲ καρποῦ τῆς χάριτος γευθῶμεν μυστικῶς, ἁγιασμοῦ πληρούμενοι καὶ σωτηρίας ἀπολαύοντες. Τὴν δὲ τῆς χάριτος εὐωδίαν ἡμῖν βράβευσον, ἡ ταύτης διὰ τῆς βρώσεως τῶν μήλων τῆς Ἐδὲμ γευθεῖσα. Ἐγκαίνισον ἡμῖν ταῖς σαῖς ἱκεσίαις Πνεῦμα Ἅγιον, τοῦ στηρίζειν ἡμᾶς ἐν πᾶσιν. Ἐνίσχυσον ἡμᾶς ἐν τῷ καλῷ ἀγῶνι, ἡ δι᾽ Ἀγγέλου φωτεινοῦ τῆς παραστάσεως τελέσασα τὸν τῆς πίστεως δρόμον. Ἵνα σὺν Ἀγγέλοις τὸν Θεὸν δοξολογῶμεν, καὶ τούτῳ τὴν Λατρείαν ἀπονέμωμεν, Πατέρα προσκυνοῦντες ἀγέννητον, Υἱὸν συνδοξάζωμεν τὸν γεννηθέντα, καὶ Πνεῦμα τὸ Πανάγιον σέβωμεν, Τριάδι μία καὶ θεαρχία ᾗ πρέπει δόξα καὶ προσκύνησις εἰς τοὺς αἰῶνας.